ΑΝΘΟΛΟΓΙΑ

ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ

ΕΠΙΓΡΑΜΜΑΤΩΝ.

EPIGRAMATA

GRAECA SELECTA.

ABREDONIAE:
EXCUDEBAT FRANCISCUS DOUGLAS
MDCCLX.

ANECDOTA

TOM FRANKLIN

EPITRAMMATON.

45
11 8
101

EPIGRAMATA

GRAECA SELECTA

BRITISH MUSEUM

ABREDONIAE:
EXCUDEBAT FRANCISCUS DOUGLAS
MDCCLX.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

I.

Ἀνὲρ τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
Ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.

II.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν,
Ὃν λίπεν, οὐχ εὑρὼν, ἧψεν, ὃν εὗρε, βρόχον.

III.

Δακρύει Φείδων ὁ φιλάργυρος, οὐχ ὅτι θνήσκει,
Ἀλλ' ὅτι πέντε μυῶν τὴν σορὸν ἐπρίατο.

IV.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος.
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

V.

Κερδαλέης δίζεσθε δόμους λῃστῆρες ἄλλως·
Τοῖσδε γάρ ἐστι φύλαξ ἔμπεδος, ἡ πενίη.

VI.

Ὡς τιθηνεόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε·
Ὡς δὲ βιωσόμενος, Φείδεο σῶν κλεάνων.

VII.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικὸν; ἴσχιο τέχνης·
Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

VIII.

Ὁ φθόνος ἐστὶ κάκιστον· ἔχει δέ τι καλὸν ἐν αὐτῷ·
Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

IX.

Τὴν σαυτῷ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Ἄλλός τις σὲ κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

X.

Παλλάδος εἰμὶ φυτὸν, Βρομίῳ τί με θλίβετε κλῶνες;
Αἴρετε τὰς βότρυας, παρθένος ὑμὶν ἐγώ.

XI.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἦν σέ τις εἴρῃ,
Ἠπείρου κείνου σῆμα λέγ' ἀμφοτέρας.

XII.

Ζωσίμη ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
Καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

XIII.

Δοῦλος ἀνὴρ ὅτος ζῶν ἦν ποτε· νῦν δὲ τεθνηκὼς
Ἴσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

XIV.

Ἕκτωρ Αἴαντι ξίφος ἄπασεν· Ἕκτορι δ' Αἴας
Ζωστὴρ· ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

XV.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
Μέμφιτικι οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.

XVI.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργῷ·
Ὡς ἀλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

XVII.

Ἀκμῇς ἐστηκυῖαν ἐπὶ ξυρῇ Ἑλλάδα πᾶσαν
Ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

XVIII.

Βυκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
Βοίδιον, ὡς ἵμπην, βουσὶ συνεξελάσῃς.

XIX.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχῃ; τίπτε δὲ μυκᾷ;
Ἃ τίχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

XX.

Τὸ ῥόδον ἁκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

XXI.

Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, ἢ κατέχει δέ,
Ὡς ἄτερ ἀσχίστου νηχόμενον δέλεαρ.

XXII.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι, ἀλλά μοι ἄφθη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

XXIII.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιος ἐστὶ
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

XXIV.

Ὠκεῖαι χάριτες, γλυκερώτεραι. ἢν δὲ βραδύνῃ,
Πᾶσα χάρις κενεὴ, μηδὲ λέγοιτο χάρις.

XXV.

Χαίρει τίς Θεόδωρος, ἐπεὶ θάνον, ἄλλος ἐπ' αὐτῷ
Χαιρήσει, θανάτῳ πάντες ὀφειλόμεθα.

XXVI.

Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοκόν τι ποιήσας·
Οὐ λήσεις δὲ θεὺς οὐδὲ λογιζόμενος.

XXVII.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σώετο λαοῖς
Ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν Ἀΐδῃ.

XXVIII.

Χρυσὲ πάτερ κολάκων, ὀδύνης, καὶ Φροντίδος υἱέ,
Καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

XXIX.

Φεύγετε τὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους.
Μισοῦντας πενίην, μητέρα σωφροσύνης.

XXX.

Χρήματα καὶ πόρνης παραγίγνεται, οὐκ ἀλεγίζω·
Μισείτω με τάλας χρυσὸς ὁ πορνοφίλας.

XXXI.

Ἐλπὶς καὶ σὺ τύχη, μέγα χαίρετε, τὸν λιμέν' εὗρον·
Οὐδὲν ἐμοὶ χ' ὑμῖν, παίζετε τὰς μετ' ἐμέ.

XXXII.

Θησαυρὸς μέγας ἔστ' ἀγαθὸς φίλος, Ἡλιόδωρε,
Τῷ μὲν τηρῆσαι τοῦτον ἐπισταμένῳ.

XXXIII.

Ἡ βραδύπους βουλὴ, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
Αἰεὶ ἐφιλκομένην τὴν μετάνοιαν ἔχει.

XXXIV.

Πᾶσι θανεῖν μοιρόπτοσσιν ὀφείλεται. ἐδέ τίς ἐστιν
Ἄξιον ἐς ζῆσιν θνητὸς ἐπισταμένος.

XXXV.

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας, ἐς δὲ καὶ ὁ Ζεὺς
Ἦν ἐπὶ γῆς πλωχὸς, καὐτὸς ἔπασχεν ὕβριν.

XXXVI.

Εἰ πίνομαι, τί πάθω; τί μοι μισεῖς ἐκ ἀδικοῦντα;
Πταῖσμα τόδ' ἐστὶ τύχης, οὐκ ἀδίκημα τρόπων.

XXXVII.

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας
Ἀντλῶν τὰς χαρίτας, εἰς κενὸν ἐξέχεας.

XXXVIII.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

XXXIX.

Τῶν αὐτῷ τις ἕκαστος ἀπολλυμένων ἀνίηται,
Νικόδικον δὲ φίλοι καὶ πόλις ὅδε κλαίει.

XL.

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι ῥήμασιν.

XLI.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, ὃ τόδε σᾶμα·
Ἄρης δ' ἐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

XLII.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

XLIII.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
Ἦν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

XLIV.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Ἄμμι δίδυ· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

XLV.

Κήν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω
Ὅσσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ.

XLVI.

Τοῖσι μὲν εὖ πράτλουσιν πᾶς ὁ βίος βεωχύς ἐστι,
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

XLVII.

Κήν με κατακρύψῃς ὡς ἀδινος ἀνδρὸς ὀρῶντος,
Ὄμμα Δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

XLVIII.

Πολλὰ φαγὼν, καὶ πολλὰ πιὼν, καὶ πολλὰ κακ' εἰπὼν
Ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

XLIX.

Δοῦλος Ἐπίκητος γενόμην, καὶ σῶμα ἀνάπηρος·
Καὶ πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις.

L.

Μήτης υἷα λιπόντα μάχην μετὰ πότμιον ἑταίρου
Ἔκτανεν, ὠδίνων μοῦνος ἀνηνυμένη.
Καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
Ἀλκῇ μαρναμένων, ἢ γενεῇ βριφέων.

LI.

Ἃ Κύπρις Μύσαισι, κοράσια, τὰν Ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν Ἔρον ὕμμιν ἰφοπλίσομαι.
Χ' αἱ Μοῦσαι ποτὶ Κύπριν, Ἄρει τὰ στωμύλα ταῦτα,
Ἡμῖν δ' οὐ πίταται τοῦτο τὸ παιδάριον.

LII.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας· ὐδὲ τραπέζαις
Δουλεύσω, μυσέων ἄνθεα βοσκόμενος.
Μισῶ πλοῦτον ἄνευ, κολάκων τροφόν, ὐδὲ παρ' ὀφρὺν
Στήσομαι· οἷδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

LIII.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
Καὶ, τί ποιεῖς, φησὶν, φίλτατε μῦ, παρ' ἐμοί;
Ἠδὺ δ' ὁ μῦς γελάσας, μηδὲν, φίλε, φησὶ, φοβηθῇς·
Οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

LIV.

Εἶναι μὲν κυνικόν σε, Μενίστρατε, κἀνυπόδητον,
Καὶ ῥιγῶν, οὐδεὶς ἀντιλέγει καθόλου·
Ἂν δὲ πὰρ ἁρπάζῃς ἄρτους καὶ κλάσματ' ἀναιδῶς,
Κἀγὼ ῥάβδον ἔχω, καὶ σὲ λέγουσι Κύνα.

LV.

Τοῦτο Θεμιστοκλεῖ κενὸν ἠρίον εἵσατο Μάγνης
Λαὸς, ὅτ' ἐκ Μήδων πατρίδα ῥυσάμενος,
Ὀθνείην ὑπτίου χθόνα, καὶ λίθον. ἤθελεν ἔντος
Ὁ φθόνος. αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.

LVI.

Ἐλπίδος ὐδὲ τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
Λοιπὸν τῆς ἀπάτης, ἤλυθον εἰς λιμένα.
Εἰμὶ πένης ἄνθρωπος, ἐλευθερίη δὲ συνοικῶ.
Ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

LVII.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἄδηκτον
Ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
Ἀρκέομαι τούτοισιν, ἃ γὰρ χρόνος, ἄνδρας ἄριστον
Ἡλικίης, ἔθανε χὠ τριγέρων Πύλιος.

LVIII.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
Ἀνθρώπου καθαρὴν ψευσαμένην φιλίην.
Οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
Ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

LIX.

Ἦν νέος, ἀλλὰ πένης· νῦν γηρῶν, πλούσιος εἰμι.
Ὦ μόνος ἐκ πάντων αἰκτρὸς ἐν ἀμφοτέροις.
Ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲν ἔχον·
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

LX.

Γνήσιός εἰμι φίλος· καὶ τὸν φίλον ὡς φίλον οἶδα.
Τοὺς δὲ κακοὺς δόλου πάντας ἀποστρέφομαι.
Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν, ὃς δ' ἄρα τιμῶ,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

LXI.

Εἰσὶ καὶ ἐν μύσταισιν ἐριννύες, αἵ σε ποιοῦσιν
Ποιητὴν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
Τοίνυν σε δέομαι, γράφε πλείονα· μείζονα γάρ τοι
Εὔξασθαι ταύτης οὐ δύναμαι μανίην.

LXII.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σε φημὶ πένεσθαι·
Χρῆσις γὰρ πλούτου μάστυς, Ἀπολλόφανες.
Ἂν μετίχῃς αὐτῶν σύ, σὺ γίγνεται· ἂν δὲ φυλάττῃς
Κληρονόμοις, ἀπὸ σῶν γίγνεται ἀλλοτρίοις.

LXIII.

Ποιητὴς παντάριστος ἀληθῶς ἐστιν ἐκεῖνος,
Ὅστις δεικνύει τὸν ἀπροσπαθέοντα.
Ἢν δ' ἀναγιγνώσκῃ, καὶ ῥήτωρ εἰκαδὸν ἵζῃ
Εἰς αὐτὸν τρέπεται τὴν ἰδίην μανίην.

LXIV.

Ἐκ πυρὸς Ἰλιακῆς δοράτων μέσον ἥρπασεν Ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος, πατέρα.
Ἔκλαιγε δ' Ἀργείοις, μὴ φαύετε· μείζονι δ' ἐς Ἄρη
Κέρδος, ὁ γηραλέος· τῷ δὲ φέροντι, μέγα.

LXV.

Στήλην μητρυιῆς, μιαρὸν λίθον, ἔστεφε κοῦρος,
Ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος.
Ἡ δὲ κάτω κλινθεῖσα, κατέκλανε παῖδα πιοῦσα·
Φεύγετε μητρυιῆς καὶ τάφον, οἱ πρόγονοι.

LXVI.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
Ἀλλά μ' ἀναλσκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, κατ' ἐμοῦ πάλι θηρίον ἔσται·
Ἡ χάρις ἀλλάξαι τὴν φύσιν ἃ δύναται.

LXVII.

Ἀγρὸς Ἀχαιμενίδου γινόμην ποτὲ, νῦν δὲ Μενίππου·
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ἔφθη, καὶ πάλιν ἄλλος
Οἴεται· ἐμοὶ δ' ἄλως ἄδικος, ἀλλὰ Τύχη.

LXVIII.

Ἔχθις ἀπέλιχθαι μέλλων Δείναρχος ὁ Φόνδων,
Γλαῦκε, δι' ἓξ χαλκὺς δύσμορος, ὃν ἔθανεν.
Ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον· ἀλλ' ἐδυσώπει,
Εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.

LXIX.

Παῖδά με πεντατέτηρον, ἀκηδίᾳ θυμὸν ἔχοντα
Νηλειὴς Αἴδης ἥρπασε Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
Παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

LXX.

Δοῦλος ἐγὼ, καὶ δοῦλος· ἐλευθερίᾳ δέ με τύμβῳ,
Δέσποτα Τιμάνθη, τὸν σὸν ἔθευ τροφέα.
Εὐαίων', ἀσινῆ τείνοις βίον· ἢν δ' ὑπὸ γήρως
Πρός με μόλῃς, τὰς ἐγὼ, Δέσποτα, κἠν Ἀΐδῃ.

LXXI.

Τοῦτό τοι ἠμετέρης μνημήιον, ἐσθλὲ Σαβῖνε,
Ἄ λίθος ἀ μικρὰ τῆς μεγάλης Φιλίης.
Αἰὲν ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισιν
Τοῦ λήθης ἀπ' ἐμοὶ μή τι πίῃς πώματος.

LXXII.

Αὐτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔθηκεν
Ἀνδροτίων· οὕτω δ' ὑδατὸς εἰμὶ τάφος.
Οὕτω καὶ μείνωμεν πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δὶς
Δικαίως ἐν ἐμοὶ τοὺς πρότερους τιθέτω.

LXXIII.

Κεφάλου τὸν πολύμυθον, ἐπιστάμενον καλὰ παίζειν,
Δίζονται Σαμίων πολλάδες θυγατέρες,
Ἤδεται συνόντων, οὐδὲ παλοὶ· ἡ δ' ἀποβρίζει
Ἐλθὼν τὸν πάσαις ὕπνον ἀφειλόμενον.

LXXIV.

Ὤφελε μηδ' ἐγίνοντο θεοὶ νέες· ἢ γὰρ ἂν ἡμεῖς
Παῖδα Διοκλείδου Σωπόλιν ἐστεφόμεν·
Νῦν δ' ὁ μὲν εἰν ἁλί πᾶ φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
Οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

LXXV.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίδω, ὃν κλένι μοῖρα
Αὐτῷ χρησαμένη καὶ χερὶ καὶ ξίφεϊ.
Οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμανυῖα
Εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.

LXXVI.

Ἀδ' ἐγὼ ἀ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα, ὡς παρ' Ἀχαιοῖς
Ἀ δολόφρων ἀπάτα κρεῖσσον ἐμεῦ κέκριται.

LXXVII.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ' ἐπὶ τύμβῳ
Μίτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.
Ἰλιάς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλάς, Ἀχαιοὶ
Φεύγοντες· τούτοις πᾶσιν ἐγωνύμεθα.

LXXVIII.

Ἕκτορι μὲν Τροίη συνεκάθανεν, ἐδ' ἔτι χεῖρας
Ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις·
Πίλλα δ' Ἀλεξάνδρῃ συνεκπώλητο· πατρίδος ἄρα
Ἀνδράσιν, ἃ πάτραις ἄνδρες ἀγωνιόμεθα.

LXXIX.

Ἤθελες, ὦ Ζήνων, καλὸν ἤθελες, ἄνδρα τύραννον
Κτείνας, ἑλκύσαι δουλοσύνης Ἐλέην.
Ἀλλ' ἐδάμης· δὴ γάρ σε λαβὼν ὁ τύραννος ἐν ἅλμῃ
Κόψε· τί τοῦτο λέγω; σῶμα γὰρ, οὐχὶ δὲ σέ.

LXXX.

Παλλὰς ἐσαθρήσασα καὶ Ἥρη χρυσοπέδιλος
Μαιονίν, ἐκ κραδίης ἴαχον ἀμφοτέραι,
Οὐκ ἔτι γυμνούμεσθα· κρίσις μία ποιμένος ἀρκεῖ·
Οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

LXXXI.

Μὴ πλαίων, φίλος ἆ θνητοῖς, φίλος εἰ μακάρεσσι,
Καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου.
Ἂν πλαίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
Ἐχθρὰ, Τύχης τε ῥοπαῖς συμμεταβαλλόμενα.

LXXXII.

Μὴ σύ γε θνητὸς ἐὼν, ὡς ἀθάνατός τι λογίζου·
Οὐδὲν γὰρ βιότῳ πιστὸν ἐφημερίοις.
Εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἥδε θανόντα,
Ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

LXXXIII.

Ἀδδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
Πᾶσ' ἐπὶ πυρκαϊῆς ὧδ' ἔβόησε πόλις.
Οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
Ἡνάρισε στυγερῆς ἐν στροφάλιγι μάχης.

LXXXIV.

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
Δέξατο Φερσεφόνας κυάνεος θάλαμος.
Ἃς καὶ ἀποφθιμένας, πᾶσαι νεοθηγέϊ χαλκῷ
Ἄλικες ἰμερτὰν κρατὸς ἔθεντο κόμαν.

LXXXV.

Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ,
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, οὗτ' αὖτ' ἀχρεῖος ἀνήρ.

LXXXVI.

Μήτε βαθυκλεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
Μήτε σέο γναμψῃ φροντὶς ἐλευθερίην.
Πᾶς γὰρ ὑπ' ἀσταθέσσι βίος πελεμίζεται αὔραις,
Τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
Ἡ δ' ἀρετὴ σταθερόν τι καὶ ἄτροπον· ἧς ἔπι μούνης
Κύματα θαρσαλέως πορτοπόρει βιότου.

LXXXVII.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
Τὸν παύοντα νόσες, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέ ποτ' αὐτὸν
Εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον.
Αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλοις
Ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι

LXXXVIII.

Ἀντιγένης ὁ Γελῷος ἔπος ποτὲ τοῦτο θυγατρὶ
Εἶπεν, ὃ ἦν ἤδη νεύμενος εἰς ἀΐδην.
Παρθένε καλλιπάρηε, κόρη δ' ἐμή, ἴσχε συνεργὸν
Ἡλακάτην ἕλκειν, κλῆμα πένητι βίῳ.
Ἦν δ' ἴκῃ εἰς Ὑμέναιον, Ἀχαιΐδης ἥδεα μητρὸς
Χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

LXXXIX.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
Ἑρπύζοις, χλοερὲς ἐκπροχέων πλοκάμους.
Καὶ πέταλον πάντη θάλλοι ῥόδου, ἥτε φιλορρώξ
Ἄμπελος, ὑγρὰ περιξ κλήματα χευαμένη,
Εἵνεκεν εὐμαθίης πινυτόφρονος· ἦν ὁ μελίχρυς
Ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων

XC.

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σε κισσὸς,
Ἁβρά τε λειμώνων πορφυρέων πέταλα.
Πηγαὶ δ' ἀργινόεντος ἀναβλύοιντο γάλακτος·
Εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ·
Ὄφρά κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται·
Εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνη.

XCI.

Πολλὰ τὸ Δαιμόνιον δύναται, κἢν ᾖ παράδοξα.
Τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
Καὶ σῷ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
Κἢν ποταμὸς χρυσῷ νάματά σοι παρέχῃ.
Οὐ θρύον, ὃ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
Ἢ δρύας, ἢ πλατανὺς οἵδε χαμαὶ κατάγειν.

XCII.

Ὁ Φθόνος οἰκτίρμῶ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων.
Οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον.
Τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
Μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
Ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
Κινδύνους ἐπάγειν, ἕσχατα δ' ὕβριν ἔχει.

XCIII.

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μὴ μ' ἀδίκει σύ,
Ἀρχὴν τῷ βλάπτειν τὴν φιλίην θέμενος.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρείσσονα φημὶ
Τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
Φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
Τὰς ὑφάλους πέτρας τῶν φανερῶν ἐπιλαῖδας.

XCIV.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀττικὰ ῥήματα πέντε,
Εὐζήλως ἐστὶν καὶ Φρονίμως μελετᾶν.
Οὐδὲ γὰρ εἰ Κάρκαιρε, καὶ εἰ Κοναβεῖ, τό,τε Σίζει,
Καὶ Κελάρυζε, λέγεις, ἰνδὺς Ὅμηρος ἔσῃ.
Νοῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κρείσσονα, ὥστε νοεῖν ἃ λέγεις.

XCV.

Εἶπέ τις, Ἡράκλειτε, τὸν μόρον, ἐς δὲ μὲ δάκρυ
Ἤγαγεν· ἐμνήσθην δ' ὁππόκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν πω
Ἔξεις Ἁλικαρνησσεῦ, τετράπαλαι σποδιή.
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ἧσιν ὁ πάντων
Ἁρπακτὴς Ἅιδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

XCVI.

Ἡράσθης πλουτῶν, Σωσίκρατες· ἀλλὰ πένης ὤν
Οὐκ ἔτ' ἐρᾷς· λιμὸς φάρμακον οἷον ἔχει.
Ἡ δὲ πάρος σε καλοῦσκε μυρὸν καὶ τερπνὸν Ἀδώνιν,
Μηνοφίλα, νῦν τοι τοὔνομα πυνθάνεται.
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως
Τοῦτ' ἔπος, ὡς οὐδεὶς ὧδ' ἔχοντι φίλος.

XCVII.

Πέμπω σοὶ Ῥοδόκλεια, τόδε στέφος, ἄνθεσι πλέξας
Αὐτὸς ὑφ' ἡμετέραις δρεψάμενος παλάμαις.
Ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερήτ' ἀνεμώνη,
Καὶ νάρκισσος ὑγρὸς καὶ κυανανγὲς ἴον.
Ταῦτα στεψαμένη, λήξον μεγάλαυχος ἐοῦσα·
Ἀνθεῖς, καὶ λήγεις, καὶ σὺ, καὶ ὁ στέφανος.

XCVIII.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι, μή ποτ' ἐκείνης
Ἕξειν μήτε φίλον κρείσσονα, μήτε φίλην.
Ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τὼς ἐν ἔρωτι
Ὅρκους μὴ δύνειν οὔατ' ἐς Ἀθανάτων.
Νῦν δ' ὁ μὲν ἄλλης δὴ θέρεται πυρί· τῆς δὲ ταλαίνης
Νύμφης, ὡς Μεγάρεων, ἐκλόγος οὐδ' ἀριθμός.

XCIX.

Πουλὺ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
Ἤρξης, ἐχλαίνυς φάρεϊ πορφυρέῳ.
Καὶκ νεκύων δ' ἤχησεν ὁ τᾶς Σπάρτας μέγας ἥρως,
Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
Ἀσπίς μοι τύμβου κόσμος μέγας· ἔῤῥε τὰ Περσῶν,
Ἦξω κ' ἐς Ἀΐδην ὡς Λακεδαιμόνιος.

C.

Ἕκτορ, ἀρήϊον αἷμα, κατὰ χθονὸς ἔπου ἀκύεις,
Χαῖρε, καὶ ἀμπνευσον βαιὸν ὑπὲρ πατρίδος·
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
Σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο· παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ
Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

CI.

Ἰχθύας ἀγκίστρῳ τις ἀπ' ἠόνος εὖτριχι βάλλων,
Εἵλκυσε ναυηγῦ κρᾶτα λιποτριχέα.
Οἰκτίρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάψων λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσῦ κλίμαρ· ἦ ῥα δικαίοις
Ἀνδράσιν εὐσεβίης οὐκ ἀπολωλε χάρις.

CII.

Παῖδα πατὴρ Ἄλκαν ὁλοῷ σφιγχθέντα δράκοντι
Ἀθρήσας, δειλῇ τάξον ἔκαμψε χερί.
Θηρὸς δ' ἐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
Ἦιξεν, τυτθοῦ βαιὸν ὑπερθε βρέφους.
Παυσάμενος δὲ φόνοιο, παρὰ δρυὶ τῇδε φαρέτρην
Σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης

CIII.

Τὰν ἀναδυομέναν ἀπὸ πατέρος ἄρτι θαλάττας
Κύπριν, Ἀπελλείης μόχθον ὅρα γραφίδος·
Ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίτην,
Ἐκθλίβει νοτερῶν ἄφρὸν ἀπὸ πλοκάμων.
Αὐταὶ νῦν ἐρέεσιν Ἀθηναίη τε καὶ Ἥρη,
Οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

CIV.

Ἤρισαν ἀλλήλαις Ῥοδόπη, Μελίτη, Ῥοδόκλεια,
Τῶν τρισσῶν τίς ἔχει κάλλος ἀρειότερον·
Καί μι κριτὴν εἵλοντο· καὶ ὡς θεαὶ αἱ περιδέπλοι
Ἔστησαν, μύνῳ νέκταρι λειπόμεναι.
Ἀλλὰ σαφῶς ἀ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδὼς,
Τὰς τρεῖς ἀθανάτους αὐθὶ συνεστεφάνων.

CV.

Ἡ πήρη καὶ χλαῖνα καὶ ὕδατι πιληθεῖσα
Μᾶζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
Καὶ δέπας ἐκ κεράμοιο, σοφῷ Κυνὶ μέτρα βίοιο
Ἄρκια· κἠν τούτοις ἦν τι περισσότερον·
Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην
Εἶπε, τί καί σε μάτην ἔτρεκον ἠχθοφόρον;

CVI.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα,
Οὐδὲν ἔχω θρήνων ἄξιον ὐδὲ θανών.
Τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
Συζήσας· τρισσοῖς παισὶν ἔδωκα γάμους.
Ἐξ ὧν πολλάκις παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
Οὐδενὸς οἰμώξας οὐ νόσον, ὐ θάνατον.
Οἵ μὲ κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
Κοιμᾶσθαι χώρην πέμψαν ἐπ' εὐσεβίων.

CVII.

Λητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε,
Ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
Ξυνὰ δὲ καὶ μοίρης λαχέτην λίνα, καὶ παρὰ δῖνα
Βοσπορίην ξυνὴν ἀμφιβάλοντο κόνιν.
Οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
Ἀλλὰ ξυντρεχέτην καὶ παρὰ Φερσεφόνην.
Χαίρετον, ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων
Ὤφελεν ἱδρύσθαι βωμὸς ὁμοφροσύνας.

CVIII.

Πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται·
Ἀλλ' ἡμεῖς τούτοις ὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί·
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.
Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον ἀεὶ,
Τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
Εἰ δὲ Θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσει,
Ἀφραίνων κακίην αὐ δύναται κατέχειν.

CIX.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν
Νείκεα, καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις,
Φροντίδες· ἐν δ' ἀγροῖς, καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ
Τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τί, δέος.
Ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; ἐκ ἀμερίμνος
Ἔσσαι· ἢ γαμέεις; ζῇς ἔτ' ἐρημότερον.
Τέκνα, πόνοι· πήρωσις, ἄπαις βίος· αἱ νεότητες
Ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
Ἦν ἄρα τοιν δισσοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

CX.

Παντοίην βιότοιο τάμοις τρίβον· εἰν ἀγορῇ μὲν,
Κήδεα, καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις,
Ἀμπαύμ'· ἐν δ' ἀγροῖς, φύσιος χάρις· ἐν δὲ θαλάσσῃ,
Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τί, κλέος·
Ἢν δ' ἀπορῇς, μόνος οἶδας· ἔχεις γάμον; οἶκος ἄριστος
Ἔσσεται. ἢ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
Τέκνα, πόθος· ἄφροντις, ἄπαις βίος· αἱ νεότητες
Ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν· πάντα γὰρ ἐσθλὰ βίῳ.

CXI.

Δάκρυά σοι, καὶ νέρθεν ὑπὸ χθονὸς, Ἡλιοδώρα,
Δωρέομαι, στοργᾶς λείψανον εἰς ἀίδην·
Δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
Σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
Οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
Αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.

Αἴ, αἴ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἥρπασεν Ἅιδας,
Ἥρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
Ἀλλά σε γουνοῦμαι, Γᾶ παντρόφε, τὸν παναώρατον
Ἥρεμα σοῖς κόλποις, μᾶτερ, ἐναλίσκαισι.

CXII.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
Ἀτυχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Ἀλλά μιν Εὐκτήμων, πατρικὸς φίλος, ὡς ἐνόησεν
Ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
Καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
Θῆκε θυγατρὸς ἑῆς, πολλ' ἐπιμείλια δούς.
Αὐτὰρ ἐπεὶ Θήρωνι παρ' ἐλπίδας ἦλυθε πλοῦτος,
Αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ' ἐν δαπάναις·
Οὕτω μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
Οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυε τὸ δεύτερον· οὐκ ἔτι κεῖνον,
Ἀλλὰ θυγατρὸς ἑῆς προῖκα τε καὶ θάλαμον·
Ἔγνω δ' ὡς οὐκ ἔστι, κακῶς κεχρημένον ἄνδρα
Τοῖς ἰδίοις, εἶναι πιστὸν ἐν ἀλλοτρίοις.

CXIII.

Τὸν πλανὸν Ἑρμῆν, τὸν θείων ὑπηρέτην,
Τὸν Ἀρκάδων ἄνακτα, τὸν βουλάτην,
Ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
Ὁ νυκτοκλέπτης Αὖλος εἶπε βαστάσας,
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

CXIV.

Χαῖρ' Ἰθάκη μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης,
Ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον,

Σὲ γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον· οἶδα καὶ αὐτὸς,
Ὡς ἐδὲν γλυκιόν γ' ἧς πατρίδος, ἠδὲ τοκήων.

CXV.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν,
Μακρὸν νόμιζε, κἂν δυ' ἔπῃ συλλαβάς.
Τὸν δ' εὖ λέγοντα, μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' ἔπῃ πολλὰ, καὶ πολὺν χρόνον.
Τεκμήριον δὲ τῦδε τὸν Ὁμηρον λάβε·
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
Ἀλλ' ἐδὲ εἰς Ὅμηρον ἔρηκεν μακρόν.

CXVI.

Νὴ τὸν Δία τὸν μέγιστον, ὦμην, Σωσία,
Ἐγὼγε πρότερον τὺς πένητας ζῆν μόνον
Ὀδυναμένους. τῶν πλουσίων δὲ τὸν βίον
Ἴλαρὸν τιν' εἶναι, καὶ φέρειν εὐθυμίαν.
Νυνὶ δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
Δαπανήμασιν δὴ τὸν βίον ὁράω μόνον,
Λύπας δ' ἔχοντας μείζονας τὺς μείζονας.

CXVII.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, μὴ βύλεται.
Οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
Ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
Ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
Οὐδ' ὅστις ταῦτα πάντα διατηρεῖ μόνον,
Ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν,
Εἶναι δίκαιος, κ' ἐ δοκεῖν εἶναι, θέλει.

CXVIII.

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
Ἀεί γ' ἀπλαύστας τῦ ποιεῖν ἐπαύετο,

Ἡλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
Νῦν δ' ἡ τροσίχει τὰ πράγματ', οὐδ' ἀποβλέπει
Εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
Ἐάν τε κλαίῃς, ἄν τε μὴ, τορεύσεται.
Τί οὖν πλέον τοιοῦμεν; οὐδέν. ἡ λύπη δ'
Ἔχει, ὥσπερ τὰ δένδρα καρπὸν, τὰ δάκρυα.

CXIX.

Μείζω τὰ κακὰ τοιοῦσι τολλοὶ, Δέσποτα,
Αὐτοὶ δι' αὐτοὺς, ἢ τέφυκε τῇ φύσει.
Οἷον, τέθνηκεν υἱὸς, ἢ μήτηρ τινὶ,
Ἢ νὴ Δι' ἄλλων τῶν ἀναγκαίων γέ τις.
Εἰ μὲν λαλῇ τοῦτ', ἀπέθαν', ἄνθρωτος γὰρ ἦν·
Τοσοῦτο γέγονε τὸ κακὸν, ἡλίκον τὲρ ἦν.
Ἐὰν δ', ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
Ἀτόλωλεν, ἐν ἑαυτῷ ἐὰν τοῦτο σκοτῇ,
Τρὸς τοῖς κακοῖσιν ἕτερα συλλέγει κακά.
Ὁ δὲ τῷ λογισμῷ τάντα τας' ἑαυτῷ σκοτῶν,
Τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

CXX.

Ἅτανται τὰ ζῷ' ἔστι μακαριώτερα,
Καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώτου τολύ.
Τὸν ὄγκον ὀρᾷν ἔξεστι τρῶτα τουτονί.
Οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
Τούτῳ κακὸν δι' αὐτὸν οὐδὲν γίνεται,
Ἃ δ' ἡ φύσις δέδωκεν αὐτῷ, ταῦτ' ἔχει.
Ἡμεῖς δὲ, χωρὶς τῶν ἀναγκαίων κακῶν,
Αὐτοὶ τας' αὐτῶν ἕτερα τροσπορίζομεν.
Λυτούμεθ', ἂν τλάρῃ τις· ἂν ἔκτῃ κακῶς,
Ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύτνιον, σφόδρα

Φοβούμεθ'· ἂν γλαὺξ ἀναχρέωγῃ, διδοίκαμεν.
Ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
Ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

CXXI.

Εἰ γὰρ ἐγένου σὺ, Τρόφιμε, τῶν πάντων μόνος,
Ὅτ' ἔτικτέ σ' ἡ μήτηρ, ἐφ' ᾧ γε διατελεῖν
Πράττων ἃ βούλει, καὶ διευτυχεῖν ἀεὶ,
Καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
Ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,
Ἄτοπόν τι πεποίηκ'· εἰ δ', ἐπὶ τοῖς αὐτοῖς νόμοις,
Ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
Τὸν κοινὸν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
Οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
Τὸ δὲ κεφάλαιον τῶν λόγων· Ἄνθρωπος εἶ,
Οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
Ταπεινότητα ζῶον οὐδὲν λαμβάνει·
Καὶ μάλα δικαίως. ἀσθενέστερον γὰρ ὂν
Φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν·
Ὅταν πίσῃ δὲ, πλεῖστα συντρίβει καλά.
Σὺ δ' οὐδ' ὑπερβάλλοντα, Τρόφιμε, ἀπώλεσας
Ἀγαθὰ, τὰ ἡμῶν δ' ἔστι μέτρια καὶ τά σοι κακά·
Ὥστ' ἀνὰ μέσον πως καὶ τὸ νῦν λυπεῖν φέρει.

ΤΕΛΟΣ.

BRITISH MUSEUM